eul_wid: pfu-ab

*Μεσομήδης ὁ Κρής* · Mesomedes of Crete

# Epigrams

*Ἐπιγράμματα*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ λογοτεχνική* Literary Koine
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 63.1.1 Ἕρπουσα, βεβῶσα, ποτωμένα,
book 63.1.2 νόθον ἴχνος ἀειρομένα δρομάς,
book 63.1.3 πτερόεσσα μὲν ἦν τὰ πρόσω γυνά,
book 63.1.4 τὰ δὲ μέσσα βρέμουσα λέαινα θήρ,
book 63.5.1 τὰ δ’ ὄπισθεν ἑλισσόμενος δράκων.
book 63.5.2 οὔθ’ ὁλκὸς ἀπέτρεχεν, οὐ γυνά,
book 63.5.3 οὔτ’ ὄρνις ὅλον δέμας οὔτε θήρ·
book 63.5.4 κούρα γὰρ ἐφαίνετ’ ἄνευ ποδῶν,
book 63.5.5 κεφαλὰν δ’ οὐκ ἔσχε βρέμουσα θήρ.
book 63.10 φύσιν εἶχεν ἄτακτα κεκραμέναν·
book 63 ἀτέλεστα τέλεια μεμιγμένα.
book 323.1.1 Τὰν ὕελον ἐκόμιζε
book 323.1.2 κόψας ἐργάτας ἀνήρ·
book 323.1.3 ἐς δὲ πῦρ ἔθηκε βῶλον,
book 323.1.4 ὡς σίδηρον εὐσθενῆ·
book 323.5.1 ἁ δ’ ὕελος οἷα κηρὸς
book 323.5.2 ἐξεχεῖτο παμφάγοισι
book 323.5.3 φλοξὶν ἐκπυρουμένα·
book 323.5.4 θαῦμα δ’ ἦν ἰδεῖν βροτοῖς
book 323.5.5 ὁλκὸν ἐκ πυρὸς ῥέοντα
book 323.10.1 καὶ τὸν ἐργάτην τρέμοντα,
book 323.10.2 μὴ πεσὼν διαρραγῇ·
book 323.10.3 ἐς δὲ διπτύχων ἀκμὰς
book 323 χηλέων ἔθηκε βῶλον ...